# CARMINA POPVLARIA

## Fr. 1 (*PMG* 847)

Athen. 3.109e-f ΑΧΑΙΝΑΣ. τούτου τοῦ ἄρτου μνημονεύει Σῆμος ἐν η´ *Δηλιάδος* (*FGrHist* 396 F 14) λέγων ταῖς Θεσμοφόροις γίνεσθαι. εἰσὶ δὲ ἄρτοι μεγάλοι, καὶ ἑορτὴ καλεῖται Μεγαλάρτια ἐπιλεγόντων τῶν φερόντων·

ἀχαΐνην στέατος ἔμπλεων τράγον.

_____

Cf. Hesych. χ 13 Schm. χαίνας· στέαρς.

_____

Numeri: 3ia. De imperativi forma τράγον vd. Meineke 1846, 5, Kühner-Blass I/2 45, Pordomingo 1996, 473. Vd. Pordomingo 1996, 472, 478.

## Fr. 2 (*PMG* 848)

Athen. 8.360b-d κορωνισταὶ δὲ ἐκαλοῦντο οἱ τῇ κορώνῃ ἀγείροντες, ὥς φησι Πάμφιλος ὁ Ἀλεξανδρεὺς ἐν τοῖς *Περὶ ὀνομάτων*· καὶ τὰ ᾀδόμενα δὲ ὑπ' αὐτῶν κορωνίσματα καλεῖται, ὡς ἱστορεῖ Ἁγνοκλῆς ὁ Ῥόδιος ἐν *Κορωνισταῖς*. καὶ χελιδονίζειν δὲ καλεῖται παρὰ Ῥοδίοις ἀγερμός τις ἄλλος, περὶ οὗ φησι Θέογνις ἐν β´ *Περὶ τῶν ἐν Ῥόδῳ θυσιῶν* (*FGrHist* 526 F 1) γράφων οὕτως· "εἶδος δέ τι τοῦ ἀγείρειν χελιδονίζειν Ῥόδιοι καλοῦσιν, ὃ γίνεται τῷ Βοηδρομιῶνι μηνί. χελιδονίζειν δὲ λέγεται διὰ τὸ εἰωθὸς ἐπιφωνεῖσθαι·

ἦλθ' ἦλθε χελιδὼν
καλὰς ὥρας ἄγουσα,
καὶ καλοὺς ἐνιαυτούς,
ἐπὶ γαστέρα λευκά,
κἀπὶ νῶτα μέλαινα.
παλάθαν οὐ προκυκλεῖς
ἐκ πίονος οἴκου
οἴνου τε δέπαστρον
τυρῶ τε κάνυστρον;
καὶ πύρνα χελιδὼν
καὶ λεκιθίταν
οὐκ ἀπωθεῖται· πότερ' ἀπίωμες ἢ λαβώμεθα;
εἰ μέν τι δώσεις· εἰ δὲ μή, οὐκ ἐάσομεν·
ἢ τὰν θύραν φέρωμες ἢ τὸ ὑπέρθυρον
ἢ τὰν γυναῖκα τὰν ἔσω καθημέναν·
μικρὰ μέν ἐστι, ῥᾳδίως μιν οἴσομεν.
ἂν δὴ φέρῃς τι, μέγα δή τι φέροις·
ἄνοιγ' ἄνοιγε τὰν θύραν χελιδόνι·
οὐ γὰρ γέροντές ἐσμεν, ἀλλὰ παιδία.

τὸν δὲ ἀγερμὸν τοῦτον κατέδειξε πρῶτος Κλεόβουλος ὁ Λίνδιος ἐν Λίνδῳ χρείας γενομένης συλλογῆς χρημάτων".

_____

Eust. *ad* φ 411, 1914.45-53 χελιδονίζειν παρὰ Ῥωμαίοις ἦν ἀγερμὸς γινόμενος Βοηδρομιῶνι μηνί, καλούμενος οὕτω διὰ τὸ εἰωθὸς τηνικαῦτα ἐπιφωνεῖσθαι· "ἦλθ' ἦλθε–μέλαινα". εἶτα, ὡς ἐν συνόψει φάναι, "οὐ παλάθαν ζητοῦμεν οἴνου τε δέπαστρον, ἁ χελιδών, καὶ λεκιθίταν–καθημέναν;" μετὰ δὲ ὀλίγα τελειοῦται ἡ ᾠδὴ εἰς τὸ "ἄνοιγ'–παιδία". καὶ οὗτοι μὲν πάντως χελιδονισταί. ἄλλοι δέ τινες ἐκαλοῦντο κορωνισταί, οἷα τῇ κορώνῃ τῷ ζώῳ ἀγείροντες καὶ τὰ ὑπ' αὐτῶν ᾀδόμενα κορωνίσματα ἐλέγοντο· ὧν καὶ ἐκτίθεταί τινα ὁ δειπνοσοφιστής. ἰστέον δὲ ὅτι ἐν τοῖς εἰρημένοις "παλάθη" μὲν συκῶν ἐπισύνθεσις· "δέπαστρον" δὲ καὶ παρὰ Λυκόφρονι το δέπας, οὗ δεπάστρεον παράγωγον τὸ ἐκ ποτηρίου πόμα· "λεκιθίτης"

δὲ πλακοῦς, ᾧ παραμέμικται καὶ ὠοῦ λέκιθος. τὸ δὲ "εἰ μέν τι δώσεις, εἰ δὲ μή, οὐκ ἐάσομες", ἐλλειπτικῶς ἔχει· ἔστι δὲ καὶ παρ' ὑπόνοιαν.

Cf. Hesych. χ 324 Schm. χελιδονισταί· οἱ τῇ χελιδόνι ἀγείροντες. Mendicationis carmina et fr. 36 (q.v.), et εἰρεσιώνη Samia (cf. *Vit. Hom. Herod.* 33.467-80 All. ≅ *Suda* ο 251 A., 180-95 All.), Atheniensis (cf. Crates *FGrHist* 362 F 1a, Plut. *Thes.* 22.6 s., Clem. Alex. *Strom.* 4.2.7.3 [2.251.4-6 St.-Fr.], Paus. Att. ε 17 Erbse, Schol. Vet. [**VEΓΘ**] Aristoph. *Eq.* 729a [p. 174 Merv. J.], Schol. Vet. [**VEΘNBarbAld**] Aristoph. *Pl.* 1054e [p. 170 Ch.], *Et. Gen.* **AB** *s.v.*, *Et. M.* 303.18-37, *Suda* ει 184 A., Eust. *ad* X 495, 1282.7-18 [4.666.1-17 V.]), hexametris utraque versibus, et iambicum κορώνισμα Rhodium (Phoen. fr. 2 D.[3]). Vd. Merkelbach 1952, Lambin 1992, 351-75, Marchiori 2001, 895-98.

‖ 9 τυρῶ A : -οῦ CE ‖ 10 πύρνα χ. Bergk : πυρῶν ἁ χ. codd. ‖ 12 numerus incertus ‖ 13 ἐάσομεν codd. : -μες Schweighäuser ‖ 16 μιν codd. : νιν Meineke | οἴσομεν codd. : -μες Schweighäuser ‖ 17 numerus incertus ‖ 19 versum post 16 traicere velit De Stefani. De numeris, vd. Morelli 1963, 151-59, Campbell 1982, 130, 447, West 1982, 142 n. 12, 147, Lambin 1992, 362 s., Pordomingo 1996, 473. De dialecto, Page 1962, 451, Morelli 1963, 145-51, Lambin 1992, 362. De aetate, Morelli 1963, 145-51, Adrados 1974, 64-67, Campbell 1982, 130 s., 446-48, Lambin 1992, 363 s., Pordomingo 1996, 465 s. De universo carmine, Morelli 1963, Adrados 1974, Snell 1976, 107, Lambin 1992, 361-66, Pordomingo 1996, 465 s., 469, 470, 471, 472, 473, 478, De Stefani 2000, 82-84. Priscam carminis dialectum metricamque rationem restituere frustra conaberis, ubi aetatum gentiumque vestigia variorum inveneris.